οὐδ' εἰ τρὶς ὅσα νῦν κέκτησαι, προσγένοιτό σοι, οὐδὲ ὣς ἂν ἱκανά μοι δοκεῖ εἶναί σοι. πῶς δὴ τοῦτ'; ἔφη ὁ Κριτόβουλος.

ε'. Ἀπεφήνατο ὁ Σωκράτης, ὅτι πρῶτον μὲν ὁρῶ σοι ἀνάγκην οὖσαν θύειν πολλά τε καὶ μεγάλα, ἢ οὔτε Θεοὺς οὔτε ἀνθρώπους οἶμαί σε ἂν ἀνασχέσθαι. ἔπειτα ξένους προσήκει σοι πολλοὺς δέχεσθαι, καὶ τούτους μεγαλοπρεπῶς· ἔπειτα δὲ πολίτας δειπνίζειν καὶ εὖ ποιεῖν, ἢ ἔρημον συμμάχων εἶναι.

ϛ'. Ἔτι δὲ καὶ τὴν πόλιν αἰσθάνομαι τὰ μὲν ἤδη σοι προστάττουσαν μεγάλα τελεῖν, ἱπποτροφίας τε, καὶ χορηγίας, καὶ γυμνασιαρχίας, καὶ προστατείας· ἢν δὲ δὴ πόλεμος γένηται, οἶδ' ὅτι καὶ τριηραρχίας μισθοὺς, καὶ εἰσφορὰς τοσαύτας σοι προστάξουσιν, ὅσας σὺ οὐ ῥᾳδίως ὑποίσεις. ὅπου δ' ἂν ἐνδεῶς δόξης τι τούτων ποιεῖν, οἶδ' ὅτι σε τιμωρήσονται Ἀθηναῖοι οὐδὲν ἧττον, ἢ εἰ τὰ αὑτῶν λάβοιεν κλέπτοντα.

ζ'. Πρὸς δὲ τούτοις ὁρῶ σε οἰόμενον πλουτεῖν, καὶ ἀμελῶς μὲν ἔχοντα πρὸς τὸ μηχανᾶσθαι χρήματα, παιδικοῖς δὲ πράγμασι προσέχοντα τὸν νοῦν, ὥσπερ ἐξόν σοι. ὧν ἕνεκα οἰκτείρω σε, μή τι ἀνήκεστον κακὸν πάθης, καὶ εἰς πολλὴν ἀπορίαν καταστῇς.